# 29 IULIE

# SLUJBA SF.MUCENIC CALINIC DE LA GANGRA PAFLAGONIEI

## MINEIUL-GR

www.tezaurliturgic.ro



# ΙΟΥΛΙΟΣ ΚΘ
# ΚΑΛΛΙΝΙΚΟΣ ΜΑΡΤΥΣ
# ΑΚΟΛΟΥΘΙΑ

*(Γεωργίου Γαλανόπουλου·*
*π. Νεκτάριος Μαμαλοῦγκος)*

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ’ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Μάρτυς Ἀθλητὰ Καλλίνικε, θείαν στολὴν ἀληθῶς, σεαυτὸν προσενήνοχας, εὐσεβείας βίωμα, τὴν ἀγάπην κτησάμενος, Γραφῶν μελέτην μετὰ κηρύγματος, ἵνα φωτίσῃς, ἔθνη κατείδωλα, πᾶσαν συμπάθειαν, τοῖς λαοῖς δεικνύμενος καὶ προσευχήν, ὑπὲρ πάντων ἔνδοξε, πέμπων πρὸς Κύριον.

Θεῖον Κιλικίας βλάστημα, ῥίζης γονέων πιστῶν, παιδιόθεν ἤστραψας, ἀρεταῖς θεόπνευστε, ὡς Χριστοῦ ἰσαπόστολος, καὶ τῆς Ἀγκύρας τὴν χώραν ηὔγασας, τεμὼν τοῦ ψεύδους, τὰς πλάνας Ἅγιε· ὅθεν ὑπήνεγκας, ὡς ἀδάμας ἄτμητος καὶ σταθερός, βάσανα δριμύτατα, μείνας ἀήττητος.

Πάντα ἀλγεινὰ ὑπέφερες, διὰ Χριστὸν τὸν Θεόν, ἀνδρικῷ φρονήματι, Σακερδοῦς κελεύσαντος,

δαρμοὺς σώματος δοῦναί σοι, ὡμοῖς βουνεύροις καὶ ξέσει ὄνυξι, κολάσεις πλείστας, οἱ ἀγριώτατοι, ὅτι ούκ ἔθυσας, τοῖς ξοάνοις πάνσοφε ἀλλ' εὐθαρσῶς, πίστιν ὡμολόγησας, ἄχρι θανάτου σου.

Θείᾳ ἀγάπῃ πυρούμενος, πρὸς τὸν Νυμφίον Χριστόν, Ἀθλοφόρος γέγονας, τῶν Μαρτύρων σύσκηνος, ἐναθλήσας στεῤῥότατα, ὁδοιπορίᾳ ταλαιπωρούμενος, καὶ ἐν καμίνῳ πυρὸς ζῆν ἔλιπες, στέφος οὐράνιον, εἰληφὼς Καλλίνικε νίκης λαμπρᾶς, παρὰ τοῦ Παντάνακτος, μεθ' οὗ αὐλίζῃ νῦν.

*Δόξα. Ὁ αὐτός.*

Δεῦτε φιλεόρτων χορεῖαι, τιμήσωμεν ἐν ᾄσμασι τὴν μνήμην τοῦ Ἀθλοφόρου Μάρτυρος, ἀοιδίμου Καλλινίκου· οὗτος γὰρ ἐν Κιλικίᾳ φυείς, τὰς ἀρετὰς παιδιόθεν ἐγεώργησε, καὶ πᾶσιν εὐσυμπάθητος γεγονώς, ὡς θεοσεβείας εὔχρηστον σκεῦος, καὶ τοὺς βασανιστὰς αὐτοῦ, ἀμνησικάκως ἔχων συνεχώρησε. Χριστοῦ δὲ τὸ Εὐαγγέλιον ἐκήρυξε, καὶ τὸ Ἅγιον Ὄνομα, ἐμεγάλυνεν ἐν τοῖς λαοῖς, ἄχρι τιμωριῶν καὶ θανάτου, ἐπεὶ τοῖς ψευδωνύμοις θεοῖς ἐμυκτήρισεν, ὁμολογήσας πίστιν τὴν σωτήριον. Διὸ λιπὼν ἐν γῇ τὰ πρόσκαιρα, εἰς οὐρανοὺς ἐλήλυθε τῷ πνεύματι, καὶ νῦν Τριάδι πρεσβεύει, ὑπὲρ τῶν πίστει τελούντων τὴν ἀεισέβαστον μνήμην αὐτοῦ.

*Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός. Ὢ τοῦ παραδόξου θαύματος.*

Φῶς ἡ τεκοῦσα ἀνέσπερον, τὴν ζοφεράν μου ψυχήν, ὑπὸ πάσης σκαιότητος, ἐκ παθῶν Παντάνασσα, τῇ Σῇ

χάριτι λάμπρυνον, καὶ τοῦ Υἱοῦ Σου φωτὶ καταύγασον, ὅπως δοξάζω, Σὸν θεῖον ὄνομα, ὕμνοις καὶ μέλεσιν, ὑπὸ Σοῦ σκεπόμενος καὶ ἀπλανῶς, Μῆτερ ὁδηγούμενος, πρὸς βίον ἔνθεον.

*Είς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Μνήμην τὴν ἱεράν, τιμήσωμεν ἐνθέως, πιστοὶ τοῦ Ἀθλοφόρου, μελίσμασιν ὑμνοῦντες, τὸν ἔνδοξον Καλλίνικον.

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Βίον ταῖς ἀρεταῖς, Καλλίνικε κοσμήσας, εἰς τὴν Σιὼν ἀπῆλθες, τῇ ἐν ἐπουρανίοις, Τριάδι παριστάμενος.

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Ἤθλησας εὐκλεῶς, Χριστὸν ὁμολογήσας, ἐνώπιον τυράννου, καὶ πλεῖστα ὑπομείνας, πυρὶ ζῆν Μάρτυς ἔλιπες.

*Δόξα. Τριαδικόν.*

Δόξα Σοι ὦ Τριάς, Πάτερ Υἱὲ καὶ Πνεῦμα, τρισσῶς ἑνιζομένη, ἡ μία Θεαρχία, Δημιουργὲ τῆς κτίσεως.

*Καὶ νῦν. Θεοτοκίον.*

Πρέσβευε μητρικῶς, Ἁγνὴ Θεοκυῆτορ, μετὰ τοῦ Ἀθλοφόρου, τῷ ἐκ Σοῦ σαρκωθέντι, σωθῆναι τοὺς ὑμνοῦντάς Σε.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.*

Κλῆσιν σύνδρομον, ἔχων τῷ βίῳ, νίκος κάλλιστον, ἥρας ἐν ἄθλοις, καταλλήλως γεγονὼς ὁ προκέκλησαι, σὺ γὰρ καλῶς τὸν ἀγῶνα τελέσας σου, ὡς νικητὴς ἐδοξάσθης Καλλίνικε, Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα. Ἕτερον. Ὅμοιον.*

Χαίροις βλάστημα, τῆς Κιλικίας, Μάρτυς ἔνδοξε, καὶ Ἀθλοφόρε, στρατιῶτα τοῦ Κυρίου Καλλίνικε· σὺ γὰρ ἀνδρείως ὑπήνεγκας βάσανα, καὶ ὡς ἀμνὸς ἐν πυρὶ ἄνω ἔδραμες· ὅθεν δώρησαι, ψυχῆς τὰ κρείττω δεόμεθα, Χριστὸν ἱκετεύων πάντοτε, ὑπὲρ τῶν σοῦ τελούντων τὸ μνημόσυνον.

*Καὶ νῦν... Θεοτοκίον*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν Στίχους ς' καὶ ψάλλομεν Στιχηρὰ προσόμοια. Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος.

Μάρτυς θεόφρον Καλλίνικε, ὑπὲρ τὸ ζῆν τὸ θανεῖν, εὐσεβῶς προελόμενος, τοῦ Χριστοῦ τὸν θάνατον, ἀληθῶς ἐξεικόνισας· ἀθανασίας ὅθεν ἐπέτυχες, καὶ ἀνεσπέρου μακαριότητος, ἔνθα τὰ τάγματα, τῶν Ἀγγέλων πέφυκε, καὶ ἀθλητῶν, πάντων ἀγαλλόμενος, σκηνώσας ἔνδοξε.

Μάρτυς παμμάκαρ Καλλίνικε, πρὸς ἀοράτους ἐχθρούς, τὸν ἀόρατον Κύριον, συμμαχίαν ἄμαχον, κεκτημένος ἀνέστησας, ἀθανασίας μεγάλα τρόπαια, τὸν ἐξαλείφειν γῆν τε καὶ θάλασσαν, κατακαυχώμενον, τῇ πυγμῇ τῶν ἄθλων σου, καταβαλών, καὶ τῇ τῶν αἱμάτων σου, καταποντίσας ῥοῇ.

Τὸν τῆς εὐσεβείας πρόμαχον, καὶ καθαιρέτην ἐχθροῦ, καὶ Μαρτύρων συνόμιλον, καὶ ναὸν τοῦ Πνεύματος, τοῦ Ἁγίου γενόμενον, τὸν στρατιώτην τοῦ Βασιλέως Χριστοῦ, τῶν ἰαμάτων τὸ ἀδαπάνητον, ὄντως θησαύρισμα, τῶν πιστῶν τὸ στήριγμα, τὸν θαυμαστόν, σήμερον Καλλίνικον, ὕμνοις τιμήσωμεν.

*Ἕτερα. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.*

Ὥσπερ φοίνιξ ἐβλάστησας, ἐν Ἀσίᾳ Καλλίνικε, ἐκ πιστῶν γονέων καὶ νέος ὥρμησας, ὡς ἰσαπόστολος ἔνθεος, Χριστοῦ Εὐαγγέλιον, θεηγόροις διδαχαῖς, τοῦ σοφοῦ σου κηρύγματος, εἰπεῖν ἅπασιν, ἵνα σκότη φωτίσῃς ἀγνωσίας, καὶ ἐκ πλάνης ἐξαγάγῃς, ἔθνη κατείδωλα ἔνδοξε.

Τὸ ἀνδρεῖόν σου φρόνημα, καὶ στεῤῥὸν τῆς ἀθλήσεως, ἐν ὠμοῖς βουνεύροις σκληρῶς δερόμενος, καὶ πλεῖστα πάσχων κατέδειξας, αἰσχύνας τὰ ἔνεδρα, καὶ τυράννου ἀπειλάς, Ἀθλητὰ γενναιότατε· ὅθεν εἴληφας, ἐν καμίνῳ βληθεὶς τῇ πυριφλέκτῳ, ἀφθαρσίας θεῖον στέφος, καὶ γέρας νίκης Καλλίνικε.

Τὴν παγγέραστον μνήμην σου, Ἀθλητῶν ἐγκαλλώπισμα, ἐν ναοῖς Κυρίου πανηγυρίζομεν, καὶ θείαν χάριν ἰάσεων, λαμβάνομεν τάχιστα, ὑπὸ σοῦ Μάρτυς σοφέ, πειρασμῶν ἀπολύτρωσιν, ἐκρυόμενοι, χαλεπῶν νοσημάτων καὶ κινδύνων, οἱ τελοῦντές σου τὴν μνήμην, ἐν μελιχροῖς μελῳδήμασι.

*Δόξα. Ἦχος πλ. β΄.*

Σήμερον ἐπέλαμψεν ἡμῖν, ὡς ὄρθρος νοητῆς Ἀνατολῆς, ἡ πανέορτος μνήμη τοῦ σοφοῦ θεοκήρυκος, καὶ Μάρτυρος Καλλινίκου, τὴν Ἐκκλησίαν Χριστοῦ φαιδρύνουσα. Δεῦτε οὖν φιλέορτοι, τοῦτον ἐπαξίως τιμήσωμεν, ᾀσματικοῖς ἄνθεσι καὶ ἐγκωμίοις, ὡς τῷ Θεῷ δουλεύσαντα ἐκ παιδός, καὶ τὰς ἀρετὰς γεωργήσαντα λέγοντες· χαίροις, Κιλικίας ὁ θεόφυτος βλαστός, ἐκ ῥίζης ἀγαθῆς καὶ εὐσεβοῦς, τοῦ Εὐαγγελίου ὁ κῆρυξ, καὶ τῶν εἰδώλων ὁ ὀλετήρ· χαίροις, Ἀθλοφόρων τὸ κλέος, τῆς ὁμολογίας στῦλος ὁ ἄσειστος, τοῖς ἀθλήμασιν ἀδάμας ὁ ἄτμητος, καὶ λαῶν Μικρᾶς Ἀσίας ὁ διδάσκαλος· χαίροις, ὁ τοῦ Σακερδοῦς καταφρονητής, ὁ ἀμνησίκακος ἀνὴρ βασανιστῶν καὶ φονευτῶν, ὁ λαμπρᾶς νίκης στήσας τρόπαιον, ἐν

μέσῳ σταδίου καὶ καμίνου τελειωθείς· ἀλλ’ ὦ στρατιῶτα ἀήττητε, ὁ τῆς Τρισηλίου Δόξης παριστάμενος τῷ Θρόνῳ, μὴ παύσῃ ἱκετεύειν τὸν Δεσπότην, ὑπὲρ τῶν τελούντων πιστῶς, τὴν ἀεισέβαστον μνήμην σου.

*Καὶ νῦν. Θεοτοκίον*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (Κεφ. ΜΓ΄ 9-14)*

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ

μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ᾽ ἀρχῆς καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. γ' 1)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α'.*

Ἀγαλλιάσθω σήμερον πνευματικῶς, ἡ τοῦ Χριστοῦ Ἁγία Ἐκκλησία, ἐπὶ τῇ φωτοφόρῳ μνήμῃ, τοῦ ἀριστέως Ἀθλητοῦ Καλλινίκου τοῦ Μάρτυρος· οὗτος γὰρ ἔδραμε πρὸς Θεὸν ἐκ παιδός, μυηθεὶς καὶ μαθητευθεὶς εἰς εὐσέβειαν, καὶ τὰ τῆς πίστεως ψυχοσωτήρια, ἅ, οὐκ ἐκράτησε δι' ἑαυτόν, ἀλλὰ τοῖς πλησιοχώροις τῶν Κιλίκων λαοῖς, εὐαγγελικῶς ἐδίδαξεν, ἀφαρπάσας τῆς πλάνης τῶν εἰδώλων. Διὸ ἐν παῤῥησίᾳ ὡμολόγησε Χριστόν, τὸν Σωτῆρα καὶ Δεσπότην, τυφθεὶς καὶ ξεσθεὶς τῷ σώματι

ἀσπλάγχνως, φυλακισθεὶς καὶ βασανισθείς, τῷ πυρὶ τελειούμενος. Τούτου τὴν ἱερὰν εἰκόνα ἀσπασώμεθα φιλέορτοι, ἵνα λάβωμεν πλουσίως, ἃ ἐπιδαψιλεύει ὁ ἀήττητος Μάρτυς, τοῖς μετ' εὐλαβείας τελοῦσι, τὴν ἔνδοξον αὐτοῦ ἄθλησιν, καὶ πανσεβάσμιον μνήμην, τῷ Κυρίῳ ἐκδυσωπῶν, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

*Ἦχος β'.*

Δεῦτε θεόφρονες σήμερον, συνελθόντες ἐν οἴκοις Κυρίου, ὑμνήσωμεν ἐν μέλεσι μελιῤῥύτοις, τὸν Ἀθλοφόρον Καλλίνικον, τῶν Μαρτύρων τὸν ὁμόσκηνον, καὶ ἐν Ἁγίοις θαυμαστόν, τὴν τούτου τελοῦντες φωτοφόρον μνήμην, πίστει λέγοντες· χαίροις, θεοσεβείας ἐραστά, ὁ ταῖς σοφαῖς σου διδασκαλίαις φωτίσας πληθὺν ἀνθρώπων καὶ ἐκ πλάνης εἰς πίστιν ἑλκύσας ἔθνη κατείδωλα, τῇ δ' ἐναρέτῳ σου βιοτῇ, καὶ τιμίᾳ ἀθλήσει, Ἀθλητῶν κοσμήσας τὸ πολίτευμα. Διό, τοὺς ἐκ πόθου τιμῶντάς σε, ἐκλύτρωσαι τῶν δολοπλόκων σκανδάλων τοῦ ἐχθροῦ, ἀνάγκης, κινδύνων καὶ βλάβης, ταῖς πρὸς Χριστὸν ἱκεσίαις σου.

*Ἦχος γ'.*

Ἄνερ θεηγόρε, διδάσκαλε σοφέ, Ἀθλητὰ γενναιότατε, Καλλίνικε μακάριε, μὴ ἐλλίπῃς τὸν Χριστον, ἐκδυσωπεῖν ἀπαύστως, τοῦ ἐλεῆσαι καὶ σῶσαι, τὰς ψυχὰς τῶν πιστῶς τιμώντων, τὴν ἀεισέβαστον μνήμην σου.

*Ἦχος δ΄.*

Τὸ πολυκύμαντον βίον καὶ τραχύν, ἐν ἀγωνίσμασι διαπλεύσας Μάρτυς, καὶ τῇ φιλοσοφίᾳ ἀρετὰς γεωργήσας, πρὸς ἐργασίαν τοῦ θείου θελήματος, περίδοξος γέγονας ἐν Κιλικίᾳ· ὁθεν ἀγαπήσας παιδιόθεν τὸν Χριστόν, καὶ τῇ θεοσεβείᾳ μᾶλλον γαλακτοτραφείς, ἔμαθες τὰ ἱερὰ γράμματα, ἅ, εὐαγγελικῶς ὡς ἰσαπόστολος, τοῖς λαοῖς τῆς Μικρᾶς Ἀσίας ἐκήρυξας· ὁμολογήσας δὲ Θεὸν τὸν ἀληθινόν, καὶ μυκτηρίσας τὰ εἴδωλα, ἀνδρείως ἐνήθλησας ἐν τῷ σκάμματι, ἀπτόητος μείνας ἀπειλαῖς καὶ βασάνοις, ἄχρι τελειώσεως. Διό, Ὃν εὐηρέστησας ἐν λαμπροῖς ἀγῶσι, καὶ τῇ τοῦ αἵματός σου ἐκχύσει, Ἀθλόφορε Καλλίνικε, μὴ παύσῃ θερμῶς πρεσβεύων, δωρηθῆναι τὴν ἄφεσιν τῶν παραπτωμάτων, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. α΄.*

Δεῦτε χριστοφόροι λαοὶ κατίδωμεν, τὸν Ἀθλοφόρον τοῦ Χριστοῦ, ἐν τῷ σταδίῳ ἀγηοχότα, καὶ τοῖς σκληροῖς παλαίσμασι τὸν βίον ἅπαντα, ὡς τῆς εὐσεβεία ςὁπλίτης ἀήττητος· ὅτι ὄντως τὸ Δαυϊτικόν· πεφυτευμένος ἐν τῷ Οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει, ἐν αὐτῷ εὗρε τὴν ἐκπλήρωσιν· ὅθεν, τῇ θερμοτάτῃ σου αἰτούμεθα εὐχῇ, εὐσυμπάθητε Μάρτυς, πρὸς σὲ κραυγάζοντες· τοὺς ἁμαρτωλοὺς ἀνέλκυσον, ἐκ τοῦ βυθοῦ τῆς ἀπωλείας, τῇ σαγήνῃ τῶν θείων λόγων σου, καὶ τῷ ἀγκίστρῳ τῆς χάριτός σου, πρὸς μετανοίας σωτήριον ὁδόν· ἀεὶ δ’

ἀξίωσον ἡμᾶς, τὰ ἄνω ζητεῖν καὶ τὰ οὐράνια ποθεῖν, ἵνα μετὰ σοῦ, ἀοίδιμε Καλλίνικε, τὰς ἀρχαγγελικαῖς χοροστασίαις, καὶ δήμοις τῶν Ἁγίων χαρμονικῶς, ἐν τῇ ἀγήρῳ μακαριότητι, συναγαλλώμεθα.

*Καὶ νῦν. Θεοτοκίον*

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, θεοκατοίκητος νοῦς, καρδία ζέουσα Θεοῦ ἀγαπήσεως, τρωθεῖσα πόθῳ Νυμφίου, κάλλει ὡραίου Χριστοῦ, θεηγόρος γλῶττα σαγηνεύσεως, κηρύξασα ἔθνεσιν, ἀγνωσίας τὰ ῥήματα, Εὐαγγελίου, καὶ φωτὶ καταυγάσαντα, αἰσθητήρια, τῆς ψυχῆς καὶ τοῦ σώματος, σὺ ἄνερ ὥσπερ ἄγγελος, ἐν γῇ πεπολίτευσαι, ὡς μαθητὴς θεοῤῥήμων, καὶ Ἀθλητὴς ἐννομώτατος, ὁ πάντα ἡδέα ἀρνησάμενος καὶ βίον, ὑπὲρ τῆς πίστεως.

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Χαίρει, ἡ Κιλικία ἐν σοί, ἡ ἐκβλαστήσασα ὡς ἄνθος σε εὔοσμον, τοῖς πέρασι δ' Ἐκκλησία, ἀγαλλιᾶται λαμπρῶς, ἀριστεῦ Κυρίου γενναιώτατε· σκιρτᾶ ἡ

ὁμήγυρις, τῶν πιστῶν καὶ γεραίρει σου, ἄθλους καὶ μνήμην, Ἀθλοφόρε Καλλίνικε, καὶ ἀσπάζεται, τῆς μορφῆς σου ἐκτύπωμα, ἔχουσα σὲ ὡς πρόμαχον, καὶ τεῖχος ἀπόρθητον, κατὰ ἐχθρῶν ἀοράτων, καὶ ὁρατῶν Μάρτυς ἔνδοξε· διὸ τοὺς ἐν ὕμνοις, σὲ τιμῶντας ἐκ παγίδων ῥῦσαι τοῦ ὄφεως.

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Δεῦτε, τῶν φιλεόρτων πληθύς, πάσης Ἑλλάδος ἀνυμνήσωμεν χαίροντες, τὴν μνήμην τοῦ στρατιώτου, καὶ Ἀθλοφόρου Χριστοῦ, τοῦ πιστῶς Αὐτὸν εὐαρεστήσαντος· σπουδῇ δὲ προστρέξωμεν, ἐν ναοῖς τοῦ δομήτορος, ὅπως εἰκόνα, τὴν αὐτοῦ ἀσπασώμεθα, καὶ ἐνθέοις ὕμνοις μεγαλύνωμεν, ἄθλησιν τὴν πανένδοξον, καὶ μνήμην πανίερον, κράζοντες· Μάρτυς δυσώπει, ἐν ὥρᾳ δίκης εὐΐλατον, Κριτὴν τοῦ σωθῆναι, ἡμᾶς πάντας παῤῥησίαν, Θεῷ ὡς κέκτησαι.

*Δόξα. Ἦχος πλ. δ΄.*

Δεῦτε ἀνυμνήσωμεν λαοί, τὴν πανέορτον σήμερον μνήμην, ἐν ᾄσμασιν ἱεροῖς, καὶ ᾠδαῖς θεοτερπέσι, τοῦ ἀριστέως Ἀθλητοῦ· καὶ ἐγκωμίων ἀγλαΐαις καταστέψωμεν, τὸν σοφὸν θεοκήρυκα, τὸν γόνον τῆς Κιλικίας, καὶ τῶν οὐρανῶν οἰκήτορα· ἀλλά γε, τῆς Ἐκκλησίας ἀείφωτον πυρσόν, πενήτων ἀντιλήπτορα, καὶ Χριστιανῶν τὸν ὁδηγόν, φωναῖς ᾀσματικαῖς ἐπαινέσωμεν· ὅτι, ταῖς θεϊκαῖς μαρμαρυγαῖς καταλαμπόμενος, καὶ θεοφιλῶς ἐργασάμενος, ἐγεώργησεν ἐπ’ ὠφελείᾳ, τῆς ἑαυτοῦ καὶ τῶν

ἀνθρώπων, τὰς θεοειδεστάτας ἀρετάς, μαρτυρικῶς λιπὼν τὸν βίον. Καὶ νῦν χάριν ἀδάπανον παρέχει, τοῖς τιμῶσιν εὐλαβῶς, τὴν ἄθλησιν καὶ μνήμην αὐτοῦ, τῷ πνεύματι παριστάμενος Χριστῷ, ὡς πρέσβυς θερμότατος, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος γ'. Θείας πίστεως.*

Κλῆσιν σύνδρομον, ἔχων τῷ βίῳ, νίκος κάλλιστον, ἦρας ἐν ἄθλοις, καταλλήλως γεγονὼς ὁ προκέκλησαι, σὺ γὰρ καλῶς τὸν ἀγῶνα τελέσας σου, ὡς νικητὴς ἐδοξάσθης Καλλίνικε, Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα. Ἕτερον. Ὅμοιον.*

Χαίροις βλάστημα, τῆς Κιλικίας, Μάρτυς ἔνδοξε, καὶ Ἀθλοφόρε, στρατιῶτα τοῦ Κυρίου Καλλίνικε· σὺ γὰρ ἀνδρείως ὑπήνεγκας βάσανα, καὶ ὡς ἀμνὸς ἐν πυρὶ ἄνω ἔδραμες· ὅθεν δώρησαι, ψυχῆς τὰ κρείττω δεόμεθα, Χριστὸν ἱκετεύων πάντοτε, ὑπὲρ τῶν σοῦ τελούντων τὸ μνημόσυνον.

*Καὶ νῦν... Θεοτοκίον*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

*Ἀπόλυσις.*

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα. Ἦχος α'. Τὸν τάφον Σου Σωτήρ.*

Μαρτύρων καλλονή, Ἀθλοφόρε Κυρίου, τιμῶμέν σου ψαλμοῖς, τὴν πανέορτον μνήμην, Τριάδα μεγαλύνοντες, ἐπαξίως δοξάσασαν, σὲ τὸν ἔνδοξον, καὶ θεοφώτιστον ἄνδρα, τὸν φωτίσαντα, φωτὶ Χριστοῦ Ἀσιάτας, καὶ αἵματι ῥεύσαντα.

*Δόξα.*

Ἐν τόποις εὐκλεοῦς, Κιλικίας σὺ ἔφυς, καὶ γάλακτι τραφείς, εὐσεβείας τοῖς λόγοις, ἐξήστραψας ἐν ἔθνεσι, καὶ ἀγῶσι Καλλίνικε, καὶ μορφώματα, τῶν ἀνισχύρων εἰδώλων, ἐμυκτήρισας· διὸ τὸ ζῆν ἐν βασάνοις, πυρὶ Μάρτυς ἔλιπες.

*Καὶ νῦν. Θεοτοκίον.*

Θεόνυμφε ἁγνή, σὺν λιταῖς Ἀθλοφόρου, θεράποντος πιστοῦ, τοῦ ἐκ Σοῦ σαρκωθέντος, οὗ νῦν τὴν μνήμην ἄγομεν, τοῦ σωθῆναι ἱκέτευε, Σὸν μονογενῆ,

ἐξαναστάντα ἐκ τάφου, καὶ πατήσαντα, ζωοποιῷ Του θανάτῳ, τοῦ Ἅδου τὴν δύναμιν.

*Μετὰ τὴν β’ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Χριστὸν ἠκολούθησας θεοπρεπῶς ἐκ παιδός, τρωθεὶς θείῳ ἔρωτι, καὶ ᾐρετήσω ὁδόν, ἀθλήσεως ἔνδοξε· ὅθεν ᾠδαῖς ἐνθέοις, εὐφημοῦμέν σε πάντες, χαίροις ἀναβοῶντες, ἀριστεῦ τοῦ Σωτῆρος, ὁ τρώσας τὴν ἰσχὺν Σακερδοῦς, ὅπλοις τῆς πίστεως.

*Δόξα.*

Εἰκόνι προσπέσωμεν τοῦ Ἀθλοφόρου Χριστοῦ, πιστοὶ πόθῳ τρέχοντες, ἐν πανιέροις ναοῖς, αὐτὴν ἀσπαζόμενοι· ὅτι βραβεύει πᾶσιν, ἀγαθῶν εὐδωρίαν, ἴασιν ἐκ τῶν νόσων, καὶ τὰς θλίψεις μακρύνει, ὡς εἰληφὼς παρὰ τοῦ Θεοῦ, χάριν σωτήριον.

*Καὶ νῦν. Θεοτοκίον.*

Κυρία πανάμωμε Μήτηρ Ὑψίστου Θεοῦ, ἀσπόρως συνέλαβες τὸν Ποιητὴν τοῦ παντός, ἀφράστως δ’ ἐκύησας, τέξασα ἐν σπηλαίῳ, Ὃν προεῖδον Προφῆται, Κόρη ἀνερμηνεύτως, εἰς βροτῶν σωτηρίαν· διὸ εὐχαριστήριον Σοί, μέλος προσφέρομεν.

*Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.*

Δεῦτε ἴδωμεν πιστοί, ἐν σκάμματι ἀθλητικῷ, Καλλίνικος ὁ Ἀθλητής, πῶς ἠγωνίσθη εὐσθενῶς, ὁμολογίᾳ νικητικῇ Θεὸν εἰπόντα· ἤθλησε γὰρ οὗτος,

τελειωθεὶς ἐν πυρί, καὶ ἔσβεσε τοῖς λόγοις πλάνης τοὺς ἄνθρακας, κράξας· τῷ φωτί σου ἴθυνον ἐμὲ Χριστὲ πρὸς οὐράνιον δόξαν, καὶ ῥῦσαι πάντας, τοὺς σὲ αἰνοῦντας, ἐκ πειρασμῶν τοῦ ἀρχεκάκου.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Πρόσδεξαι ἡμῶν ἁγνή, τὴν δέησιν τὴν πενιχράν, ὅτι γινώσκομεν θερμήν, καὶ εὐσυμπάθητον βροτοῖς, Σὴν ἱκεσίαν πρὸς τὸν Υἱὸν καὶ ἀρωγήν Σου· ἄκουσον αἰτήσεις καὶ καρδιῶν προσευχάς, ἀνάγκας τε καὶ θλίψεις, τῶν προσκαλούντων σε· τάχει οὖν αὐτὰς ἐκπλήρωσον ὦ Δέσποινα καὶ ἱλέωσαι Λόγον, ἐκ Σοῦ τεχθέντα, καὶ σταυρωθέντα, δοῦναι ἡμῖν ὀφλὴν πταισμάτων.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.
Προκείμενον: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*
Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*
Εὐαγγέλιον, μαρτυρικόν.
Ὁ Ν' ψαλμός.
Δόξα: *Ταῖς τοῦ Ἀθλοφόρου...*
Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β'. Στ.: *Ἐλέησόν με ὁ Θεός...*
Μάρτυς Κυρίου, εἰς πᾶσαν ἀληθῶς τὴν γῆν, ἐξέλαμψεν ὁ φθόγγος τῶν ἄθλων σου, ὁ φωτίσας τοὺς εὐσεβεῖς, διδασκαλίᾳ τοῦ κηρύγματος, καὶ εὐποιΐᾳ τῶν ἀρετῶν· διὸ ἐν τοῖς οὐρανοῖς, εὗρες ἄξιον μισθόν,

τῶν ἀθλητικῶν ἀγώνων σου. Τοῦ βελίαρ ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ Τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας. Παῤῥησίαν οὖν ἔχων εὐμενεστάτην πρὸς Χριστόν, Ἀθλοφόρε Καλλίνικε, καθικέτευε Τοῦτον, οἱ τελοῦντές σου τὴν μνήμην δεόμεθα, τοῦ δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου, καὶ τοῦ Ἁγίου δύο. Ὁ α’ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχίς: *Ἀθλητὰ Καλλίνικε, τὴν ᾠδὴν δέχου εὐμενῶς.*

*ᾨδὴ α'. Ἦχος δ'. Ἅρματα Φαραώ.*

Ἅρματι νοητῷ, ἐπιβὰς ὡς ἀληθῶς, τριστάτας ἐπόντισας, τοῦ νοητοῦ Αἰγυπτίου, ἐν τῇ τῶν αἱμάτων σου ἐρυθρᾷ, Μαρτύρων κλέος Καλλίνικε.
Θείαν περιβολήν, ἐνδυσάμενος, Σοφέ, στολὴν τὴν ἐπίγειον, ἀπεξεδύσω παμμάκαρ, καὶ πρὸς τὸν ἀγῶνα ὥρμησας, καὶ τὸν ἐχθρὸν ἐθριάμβευσας.
Λύσας τὰς τοῦ ἐχθροῦ, πολυπλόκους μηχανάς, δεσμεῖς ἐν τοῖς ἄθλοις σου, καὶ ἀνενέργητον τοῦτον, ἔῤῥιψας είς γῆν Καλλίνικε, καὶ τοῖς ποσί σου συνέτριψας.

*Θεοτοκίον.*

Ἥνπερ τῶν Προφητῶν, προεώρακε χορός, ὡς πύλην οὐράνιον, καὶ βάτον ἀκατάφλεκτον, σὲ Παρθενομῆτορ ἄχραντε, Θεὸν τεκοῦσαν ἐπέγνωμεν.

Ὁ β’ Κανών, οὗ ἡ ἀκροστιχὶς κατ’ Ἀλφάβητον· ἐν δὲ τῇ η΄ καὶ θ΄ ᾠδῇ: *Γεωργίου.*

*ᾨδὴ α΄. Ἦχος α’. Σοῦ ἡ τροπαιοῦχος δεξιά.*

Ἀσμάτων φωναῖς τερπναῖς πιστοί, πνευματικῶς εὐφραινόμενοι σήμερον, γόνον εὐκλεέστατον, ἐν τοῖς ναοῖς τοῦ Θεοῦ ἑορτάσωμεν, τῆς Μικρᾶς Ἀσίας, καὶ γῆς Κιλίκων, Καλλίνικον.

Βροτῶν γένος χαίρει ποθητῶς, καὶ Ὀρθοδόξων πληθὺς συναγάλλεται, ἐν σοὶ Μάρτυς ἔνδοξε τοῦ Ἰησοῦ, καὶ Ἀθλοφόρων Ταγμάτων συνόμιλε, ὅτι ὡς ἡλίου, ἀκτὶς ἡ μνήμη σου ἔλαμψε.

Γραφὰς παιδιόθεν ἱεράς, καὶ Πατρικὰς παραδόσεις ἐζήλωσας, ἃς σὺ ἐμελέτησας, ὡς εὐσεβής, ἀναδειχθεὶς τῶν χαρίτων ἀλάβαστρον, καὶ μυροδοχεῖον, ὁσιωτάτης θεώσεως.

*Θεοτοκίον.*

Δοχεῖον τοῦ Πνεύματος ἁγνή, ἁμαρτιῶν καθαρθεῖσα γεγένησαι, ὅτε κατεσκήνωσεν, ἐν Σῇ γαστρί, ἀσπόρως Λόγος Θεοῦ ὁ συνάναρχος, σάρκα ἑκουσίως, λαβών, βροτείου φυράματος.

*ᾨδὴ γ΄. Ὁ στερεῶν βροντήν.*

Τῇ τοῦ Χριστοῦ ἀγάπῃ τετρωμένος, ὁ Μάρτυς ἀνέκραζεν, ἐν τοῖς ἀγῶσιν ἐγκαρτερῶν· Εἴς ὀσμὴν δραμοῦμαι μύρων, ἀκολουθῶν τῷ Πάθει σου, τῇ ἀθλήσει τῇ δι' αἵματος.

Ἀνεπιβούλευτος διετηρήθης, ἐκ τῶν βελῶν τοῦ ὄφεως· τὴν σὴν γὰρ πτέρναν ὁ σοφιστής, ἐν τοῖς ἥλοις

διατρήσας, τὴν κεφαλὴν συντρίβεται, Καλλίνικε τοῖς ἄθλοις σου.
Κατατεμὼν τῆς πλάνης τὰς ἀκάνθας, μαχαίρᾳ τῇ τοῦ Πνεύματος, τὴν τοῦ Χριστοῦ πίστιν ἀπλανῶς, ἐγεώργησας Παμμάκαρ, εἰς ἑκατὸν τοὺς πόνους, προσάξας τῷ Δεσπότῃ σου.

*Θεοτοκίον.*

Ἀνερμηνεύτου τόκου καὶ λοχείας, σὺ μόνη μήτηρ γέγονας, ἐν τῇ νηδύϊ σου τὸν πρὸ σοῦ, συλλαβοῦσα Θεὸν Λόγον, καὶ γαλουχοῦσα Παρθένος, ὡς βρέφος τὸν προάναρχον.

*Ἕτερος. Ὁ μόνος εἰδώς.*

Ἐκ τόπων Κιλίκων γῆς λαμπρᾶς, ἀνέθαλες θεόσοφε, ἐξ εὐγενῶν πιστῶν γεννητόρων σου, ἀνατραφεὶς εὐσεβείας γάλακτι, καὶ τῶν ποδῶν, ἴχνεσι Χριστοῦ ἠκολούθησας, ἐρασμίου Νυμφίου, Καλλίνικε.
Ζῶν Μάρτυς ἐδόξασας Χριστόν, τῷ ἐναρέτῳ βίῳ σου, ὡς μαθητὴς καλὸς τοῦ Κυρίου σου, Οὗ Εὐαγγέλιον διετράνωσας, πέριξ λαοῖς, πλάνης ἠδάφισας τὰ ξόανα, καὶ εἰς γνῶσιν Θεοῦ, τούτοις ἴθυνας.
Ἡλίου τῆς δόξης ἀστραπαί, οἱ λόγοι σου κατέπληξαν, τοὺς ἀμαθεῖς λαοὺς ἰσαπόστολε, καὶ ἐβράβευσε σὴν πίστιν, θαύμασιν, ὁ Δεσπότης, δούς σοι πλουσίως πρὸς βεβαίωσιν, ἵν’ ἔθνη κατείδωλα πιστεύσωσι.

*Θεοτοκίον.*

Θεὸν Ὃν συνέλαβες γαστρί, ἐλεύσει τῇ τοῦ Πνεύματος, τοῦ Παναγίου ἄχραντε τέτοκας,

τηρήσασα παρθενίαν ἄφθορον, ὡς Βάτος, ἄφλεκτος καιομένη ἔμεινε, δεξαμένη τὸ πῦρ τῆς Θεότητος.

*Κάθισμα. Ἦχος γ'. Θείας πίστεως.*

Ζῆλον ἔνθεον, ἐν τῇ ψυχῇ σου, ἔχων ἔνδοξε, τοὺς ἀνομοῦντας, διακενῆς καρτερικῶς διήλεγξας, καὶ ὁμιλήσας βασάνοις διήνυσας, τὸν σὸν ἀγῶνα γενναίῳ φρονήματι, Μάρτυς Καλλίνικε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον*

Θαῦμα μέγιστον! πῶς συνεσχέθη, ὁ ἀχώρητος, ἐν τῇ γαστρί σου, καὶ ἐσαρκώθη, καὶ ἐφάνη ὡς ἄνθρωπος, μὴ ὑπομείνας φυρμόν ἢ διαίρεσιν, τῆς θεϊκῆς καὶ ἀτρέπτου Θεότητος, Κόρη πάναγνε· διὸ Θεοτόκον σε πιστῶς, κηρύττομεν ἀεὶ καὶ δοξάζομεν.

*ᾨδὴ δ'. Εἰσακήκοα ὁ Θεός.*

Λελουμένος ἐν ταῖς ῥοαῖς, τῶν σῶν αἱμάτων, παμμάκαρ ὤφθης, καθαρώτατος τῷ πνεύματι, καὶ εἰς λῆξιν ἔφθασας, τῶν Ἀσωμάτων Μάρτυς Καλλίνικε.
Λίθος ἔντιμος ἀληθῶς, ᾠκοδομήθης τῇ Ἐκκλησίᾳ, καὶ ναοὺς εἰδώλων ἔσεισας, καὶ εἰς γῆν κατέβαλες, τῇ ἀκλινεῖ ἐνστάσει τῶν ἄθλων σου.
Ἰοβόλους τὰς τῶν ἐχθρῶν, θωπείας ὄντως ἀπώσω Μάρτυς, ἐν τοῖς λόγοις δὲ τοῦ Πνεύματος, τὴν ψυχὴν ῥωννύμενος, κατὰ τῆς πλάνης ἔστησας τρόπαιον.

*Θεοτοκίον.*

Νῦν σε βάτον τὴν ἐν Σινᾷ, προδιαγράφων Μωσῆς ὁ μέγας, ἀκατάφλεκτον ἑώρακε, τὸ πῦρ τῆς Θεότητος, ἐν τῇ νηδὺϊ φέρουσαν Ἄχραντε.

*Ἕτερος. Ὄρος σε τῇ χάριτι τῇ θεία.*

Ἴδετε πιστοὶ εἰκόνα θείαν, καὶ εὐφράνθητε, τοῦ Καλλινίκου ἐν ναοῖς, καὶ ἀνάγνωτε ταῖς γραφαῖς, τὰ τούτου ἀθλήματα, τῇ εὐχῇ, πληθὺν θαυμάτων τελέσαντος, καῖ ἐκ βυθοῦ ἀπωλείας ἑλκύσαντος.

Κήδει νῦν, θεόφρον φιλεόρτων, ὧδε πλήρωμα, εὐεργετεῖν μυρεστικῶς, σῇ θείᾳ χάριτι ἀεί, ὡς πιστῶν φρουρὸς θεῖος πεφηνώς· διὸ τιμῶμέν σοι ᾄσμασιν, τὴν ἀληθῆ, ὑπὲρ πάντων ἀντίληψιν.

Λύπην ἀποθέσατε ἐνταῦθα, οἱ θεόφρονες, μαθόντες ὅσα λυπηρά, ὁ Ἀθλητὴς καρτερικῶς, ἐν βίῳ ὑπήνεγκεν, ἐκ Σακερδοῦς, παῤῥησίᾳ λέξας· Χριστοῦ εἰμι μαθητής, καὶ Σταυρῷ τοῦτον ᾔσχυνε.

*Θεοτοκίον.*

Μήτηρ παρθενεύουσα ὡς Κόρη, ἡ πρὶν γέγονας, τεκοῦσα Λόγον τοῦ Θεοῦ, ἄνευ ὠδίνων μητρικῶν, Ἀδὰμ ἀρὰν λύσαντα, προγονικήν, θανατώσαντα τὸν θάνατον, ξύλῳ Σταυροῦ, καὶ τὸν Ἅδην νεκρώσαντα.

*Ὠδὴ ε'. Ἀνάτειλόν μοι Κύριε.*

Ἰλὺϊ περιέπεσον, ἀνυποστάτῳ Κύριε, καὶ ἐν βυθῷ τῆς ἁμαρτίας τε, καὶ τῇ καταιγίδι τῶν δεινῶν μου

πράξεων, ἐμπαγεὶς κραυγάζω σοι· Σὺ γενοῦ μοι βοηθός.
Κρηπῖσι καθηλούμενος, τοὺς πόδας Μάρτυς ἔψαλλες· Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου, πλουσίως κατετέρφθην, ἀθλοθέτα Δέσποτα, ὑπομένων στίγματα, τῇ ἐλπίδι τῶν μισθῶν.
Ἐλαίῳ σῷ τὸν ἔλεον, καλῶς ἐμπορευσάμενος, τοῦ μαρτυρίου τὴν λαμπάδα σου, ἐφαίδρυνας Παμμάκαρ, δι' ἧς ὅλος γέγονας, ἱερεῖον ἄμωμον, ὁλοκαύτωμα δεκτόν.

*Θεοτοκίον.*

Τῶν Προφητῶν τὸ κήρυγμα, καὶ Ἀποστόλων καύχημα, καὶ τῶν Μαρτύρων ἐγκαλλώπισμα, ὑπάρχεις Θεοτόκε, Θεὸν Λόγον φέρουσα, ὑπὲρ λόγον Πάναγνε, τὸν πρὸ αἰώνων ἐκ Πατρός.

*Ἕτερος. Ὁ φωτίσας τῇ ἐλλάμψει.*

Νικητὴς κατὰ βελίαρ, ἀναδειχθεὶς τῇ προσευχῇ, ἐν σκάμματι ἐφυλάχθης, ἀβλαβὴς Καλλίνικε, πλήξας τὸν ἐχθρὸν ξύλῳ τοῦ Σταυροῦ, καὶ τὰς ἀπατηλὰς μηχανουργίας, τούτου ἔθραυσας.
Ξέσεις σώματος, καὶ πλεῖστα, ὑπηνεγκὼν καρτερικῶς, δεσμοῖς ὄπισθεν, ἀλόγων δεθεὶς ὡδοιπόρησας, εἰς Γάγγρας γῆν, ὅπως ἐν πυρί, καμίνου ἀναδράμῃς σοφέ, εἰς δόξαν οὐράνιον.
Ὁ κηρύξας παῤῥησίᾳ, τὸ θεῖον ὄνομα Χριστοῦ, ἐν ἀθλήσεως ἀγῶσι, Κιλικίας καύχημα, ὑμνείσθω

Καλλίνικος ᾠδαῖς, Γαλατῶν ἔω κήρυξ, εὐσεβῶν τὸ περιτείχισμα.

*Θεοτοκίον.*

Παναγία τὰς αἰτήσεις, πλήρου αἰτουμένων πιστῶς, καὶ δυσώπει τὸν Υἱόν Σου, τοῖς πᾶσι δῷ ἔλεος, ὅταν ἔλθῃ κρῖναι ὡς Κριτής, ἡμῶν τὰς ἁμαρτίας, ὦ εὐσυμπάθητε.

*Ὠδὴ ϛ'. Τῶν πταισμάτων τῇ ζάλῃ.*

Ἡ τῆς ποίμνης σου μάνδρα ἀνεπίβατος, ἐκ τῶν θηρίων ἐτηρήθη τῶν αἱρέσεων· τῶν σῶν γὰρ ἄθλων Ἔνδοξε, κατέχουσα τὴν στερρὰν βακτηρίαν, τῶν λύκων ὤφθη διώκτρια.

Νὺξ ἠλάθη τῆς πλάνης τῇ ἀθλήσει σου, καὶ τὸ τῆς πίστεως κάλλος ἐξανέτειλεν, ἐν τῇ ὁμολογίᾳ σου Πανένδοξε, τῆς Τριάδος ὁπλῖτα, ὡς ἥλιος ἐν τοῖς πέρασιν.

Ὡς τῆς πίστεως κήρυξ ἀκριβέστατος, τῷ ἀσεβοῦντι ἐβόας ἑτοιμότατα· Τὶ ἀπειλεῖς τῷ ἔχοντι ἀδάμαντος, τὴν ψυχὴν στερροτέραν· τὰ βέλη γὰρ τῶν ἀθέων κοῦφα.

*Θεοτοκίον.*

Διαμένεις ἐκ τόκου ἀπειρόγαμος, ὡς πρὸ τοῦ τόκου καὶ ἀνέπαφος· τὸ γὰρ ἐν σοὶ μυστήριον Θεόνυμφε, ὑπὲρ ἔννοιαν πᾶσαν, καὶ πάντα λόγον γνωρίζεται.

*Ἕτερος. Ἐκύκλωσεν ἡμᾶς.*

Ῥωννύμενοι τῆς σῆς εἰκόνος χάριτι, βοῶμέν σοι Καλλίνικε, ἀσπαζόμενοι τοῖς χείλεσιν αὐτήν· ῥῦσαι Ἀθλοφόρε, ἐκ δεινῶν λαόν· σὺ γὰρ θερμὴν τὴν παῤῥησίαν, ἔχεις πρὸς Κύριον.

Σπουδάσωμεν πιστοί, τιμῆσαι μέλεσι, τὸν πάντιμον Καλλίνικον, ἀριστέα, Ἀθλητὴν περιφανῆ, πρέσβυν ἡμῶν πάντων τῶν Χριστιανῶν· οὗτος ἐχθροῦ τὰς μεθοδείας, καὶ πλάνας ᾔσχυνε.

Τὰ κύματα παθῶν, τὰ ἐμφωλεύοντα, ψυχῇ σου καταπράϋνας, ὁσιακῇ καὶ ἐνθέῳ βιοτῇ, ἀθλήσας δὲ γενναίως καὶ ζῆν λιπών, πῦλας διέβης οὐρανίους, Μάρτυς ἀήττητε.

*Θεοτοκίον.*

Ὑμνοῦμέν Σε πιστῶς Παρθένε ἄνασσα, τὸ γένος τὸ ἀνθρώπινον, τὴν Ἐδὲμ ἀπολαβόντες διὰ Σοῦ, ἣν ἐκ παραβάσεως ὠλέσαμεν· Σὺ γὰρ ἐν σαρκί, Θεοῦ τὸν Λόγον ἐκυοφόρησας.

*Κοντάκιον. Ἦχος πλ. β΄. Τὴν ἐν πρεσβείαις.*

Τῇ ἑορτίῳ σπουδάσωμεν πανηγύρει, τοῦ θεοῤῥήμονος καὶ σοφοῦ Καλλινίκου, ἵνα τὴν μνήμην τούτου ὑμνήσωμεν, χορὸς τῶν φιλεόρτων, τὴν δὲ σεπτὴν τοῦ Μάρτυρος, εἰκόνα τιμήσωμεν, ἐν ᾄσμασιν.

*Ὁ Οἶκος.*

Τοῦ Προφητάνακτος ψαλμῳδοῦ προφήσαντος· διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς

είς άναψυχήν, πεπλήρωκας τὸ ῥηθὲν φιλάνθρωπε, ὁ έν Ἁγίοις θαυμαστός, καὶ έδόξασας τὸν πιστόν σου θεράποντα καὶ ἔνδοξον Μάρτυρα Καλλίνικον, τὸν εὐαρεστήσαντά Σε, έν ἀρετῶν τελειότητι καὶ ἠθῶν καθαρότητι, ὁσιότητι βίου, ἄθλοις καὶ παλαίσμασι ἱεροῖς έν σταδίῳ, ἄχρι τῆς έκχύσεως τοῦ τιμίου αἵματός του, καὶ τῆς έν τῇ Γάγγρᾳ τῆς Μικρᾶς Ἀσίας έκδημίας του. Διὸ κἀμεῖς εὔσπλαγχνε, έν τοῖς ἁγίοις Σου ναοῖς σπουδάζοντες, ἀσπαζόμεθα τὴν τούτου είκόνα καὶ λείψανα, αἰτούμενοι τὰ κρείττω, ἃ πᾶσι παρέχει, ὁ ἀκηλίδωτον πολιτείαν μετελθών, θεοειδῆ πραότητι, ἀποστολικῷ ζήλῳ, ἀνοθεύτῳ ἀγάπῃ, ὑψοποιῷ ταπεινώσει, είρηναίᾳ καταστάσει, έπίγειος ίσάγγελος, καὶ οὐράνιος ἄνθρωπος, ὁ ὁδηγὸς τῆς εὐσεβείας, καὶ τῆς ἀληθείας φωτιστὴς τῷ κηρύγματι, ὁ φιλάδελφος τοῦ Κυρίου μιμητής, τὸ πέλαγος τῶν θαυμάτων, καὶ τὸ ῥεῖθρον τῆς συμπαθείας, ὁ πλήξας Σταυροῦ τῷ ὅπλῳ, βελίαρ τὰ ἔνεδρα, ὃν νῦν έπαξίως τιμῶμεν, έν ᾄσμασιν.

*Συναξάριον.*

*Τῇ ΚΘ΄ τοῦ αὐτοῦ Μηνός, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Καλλινίκου*

*Βληθεὶς ὁ Καλλίνικος έν τῇ καμίνῳ,*
*τὸ νικοκαλὲς εὗρε καὶ θεῖον στέφος.*
*Εἰκάδι ἀμφενάτῃ φλὸξ Καλλίνικον κατέδαψε.*

*Ὠδὴ ζ'. Πῦρ φλέγον Ἄγγελος.*

Ἡδονῆς μοι πρόξενα, τὰ τῶν κολάσεων ὑπάρχουσι φόβητρα· ού γὰρ πῦρ ού, μάστιγες, τοῦ ἀληθοῦς έραστοῦ μου, ὁ Μάρτυς ἐβόα, χωρίσει με.
Νευρούμενος ἔνδοξε, τῇ συμμαχίᾳ Χριστοῦ, είς γῆν τὸν ἀντίπαλον, ἐκπαλαίσας ἔρριψας, καὶ φερωνύμως ἐδείχθης, κατὰ τῶν τυράννων καλλίνικος.
Διάβολον ᾔσχυνας, Ἀγγέλους εὔφρανας, τοῖς ἄθλοις σου, Ἔνδοξε, καὶ Χριστῷ ἐκραύγαζες· Εὐλογητὸς εἶ ὁ μόνος, ὑπάρχων Θεὸς τῶν Πατέρων ἡμῶν.

*Θεοτοκίον.*

Ἔλυσας τῷ τόκῳ σου, Παρθένε ἄχραντε, Εὔας της προμήτορος, τὴν ἀράν· ὑπάρχεις γάρ, Μήτηρ τοῦ πάντων Δεσπότου, τοῖς πᾶσι χαρὰν προξενήσασα.

*Ἕτερος. Σὲ νοητήν.*

Φῶς τοῦ Χριστοῦ, γεγονὼς Καλλίνικε, καὶ ἀρετῶν σκεῦος στιλπόν, βαφαῖς αἱμάτων ἐρυθραῖς, πρὸς ζωὴν ἀνέδραμες, ἄληκτον καὶ ἄρευστον, εὐαρεστήσας τῷ Πλάστῃ σου· διὸ τιμῶμέν σου μνήμην, θεράπον Τούτου γνήσθε.
Χαῖρε στεῤῥέ, καὶ πιστὲ σοι κράζομεν, ἔνδοξε Μάρτυς τοῦ Χριστοῦ, ἀλγηδόνας καρτερικῶς, ὡς ἀδάμας ἄτμητος, πάσχων έν τῷ σώματι, ἐπεὶ Τοῦτον ὡμολόγησας, καὶ νῦν Βασίλεια δόξης, οίκεῖς τὰ ἐπουράνια.
Ψυχοφελής, Χριστωνύμοις, δέδειξαι, ὅτι περάτων γῆς λαοί, ἕνεκεν πίστεως Χριστοῦ, τοὺς ἄθλους σου

ἔγνωσαν, πάνσοφε Καλλίνικε, καὶ ψαλμικῶς ἐκβοῶσί σοι· δὸς κάμῖν ὕδωρ ἐκ πέτρας, ὡς σοὺ φονεῖς ἐπότισας.

*Θεοτοκίον.*

Ὢ ἀληθῆ, τῆς τρυφῆς Παράδεισε, Σὺ εἶ ἡ τέξασα Ζωῆς, ἐνυποστάτου Ἀρχηγόν, Μῆτερ προαιώνιον, Λόγον τὸν ὁμοούσιον, μετὰ Πατρός τε καὶ Πνεύματος, τὸν αἰνετὸν τῶν Πατέρων, Θεόν· διὸ Σὲ μέλπομεν.

*ᾨδὴ η'. Τὰ σύμπαντα Δέσποτα.*

Χαίροις ἐντρύφημα, τῶν ἀθλητῶν τῆς ἀληθείας, Χαίροις τὸ καλλώπισμα τῆς πίστεως καὶ κλέος, Χαίροις ὁ λαμπρότατος τῶν μαρτύρων φωσφόρος, ὁ τὴν πλάνην σκεδάσας τῇ ἀθλήσει σου, καὶ τὸ φῶς ἀναλάμψας τῷ κόσμῳ, Καλλίνικε πάνσοφε.

Ὁ τύραννος ᾐσχύνθη, τῇ τῶν ἀγώνων σου ἐνστάσει, ἡττήθησαν δήμιοι τοῖς μώλωψί σου Μάκαρ, τοῖς ἥλοις τῆς πτέρνης σου κατετρώθη ἡ πλάνη, κατεφλέχθη δὲ πάντα καὶ ἠφάνισται, τῶν εἰδώλων τεμένη, πυρὶ ἐναθλοῦντός σου.

Ὑπὲρ τῶν τιμώντων σε, τῇ πρὸς Θεόν σου παρρησίᾳ, Καλλίνικε χρώμενος, ἱκέτευε ἀπαύστως, τῆς ποίμνης σου πρόστηθι, ἐξαιρούμενος ταύτην, τῶν ποικίλων παγίδων τοῦ ἀλάστορος, καὶ στηρίζων τῇ πίστει· ἐν σοὶ γὰρ αὐχεῖ καὶ κρατύνεται.

*Θεοτοκίον.*

Ἐν Πνεύματι Προφῆται, σὲ τὴν Παρθένον προτυποῦσι, σκηνήν τε καὶ τράπεζαν, καὶ στάμνον

καὶ λυχνίαν, καὶ ὄρος πανάγιον, καὶ νεφέλην καὶ πλάκα, κιβωτὸν τε καὶ ῥάβδον, πύλην ἔνθεον, δι' ἧς πᾶσιν ἀνθρώποις, ἠνοίχθη ὁ πάλαι Παράδεισος.

*Ἕτερος. Ἐν καμίνῳ παῖδες Ἰσραήλ.*

Γλυκυτάτης μέθης ἐμπλησθείς, ἐν σταδίῳ θεόφρον, δαρμοῖς βασανιζόμενος, ἐβόας πρὸς Θεόν, καρδίᾳ καὶ χείλεσιν· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τοῦ Σύμπαντος τὸν Κτίστην, καὶ ὑπερυψοῦτε, τὸν Πλάστην τῶν ἀνθρώπων.

Ἐν καμίνῳ Παῖδας Ἰσραήλ, ἀναλώτους ἔδειξε, τὸ πῦρ καὶ ὕμνουν Δεσπότην, ἐν θηρσὶν ὡς Δανιήλ· σὺ δ' Ἅγιε ἔσπευδες, τοῦ ῥιφθῆναι εἰς φλόγα ἀγαλλόμενος, ἵν' εὔοσμος θυσία, γένῃ τῷ Χριστῷ, Ἀθλοφόρε Καλλίνικε.

ᾨδὴν θείαν ἅπαντες Χριστῷ, δῶμεν μετ' εὐφροσύνης, ἀγαλλιώμενοι πάνυ, καὶ βοήσωμεν χαρᾷ, τὸν Μάρτυρα μέλποντες· ἔνδοξε ὁπλῖτα, παράσχου τοῖς πόθῳ, τιμῶσί σου τοὺς ἄθλους, ἴασιν ἐκ νόσων, καὶ θείαν σωτηρίαν.

*Θεοτοκίον.*

Ῥυσαμένη γένος τῶν βροτῶν, Σὲ ὑμνοῦμεν Παρθένε, καὶ Τόκον Σου προσκυνοῦμεν, Ὃν ἀσπόρως ἐν γαστρί, ἐδέξω καὶ τέτοκας, Βασιλέα ἁπάσης κτίσεως μόνον, λυτρούμενον τοὺς πίστει, ἀνυμνολογοῦντας, Θεὸν εἰς τοὺς αἰῶνας.

*Ὠδὴ θ'. Τὸν ἄσπορον τόκον σου.*

Ὑφάνθη σοι ἄνωθεν, ὁ χιτὼν τῆς πίστεως, δι' οὗ ἀπεγύμνωσας τὸν ἐχθρὸν ἐν σταδίῳ, Μάρτυς ἔνδοξε.

Μεμηνὼς ὁ τύραννος, ὑπεκλύειν ᾤετο, θωπείαις τὸν Μάρτυρα, ἀλλ' αὐτὸς τῇ πίστει ἐστερέωτο.

Εὐθὲς ὁλοκαύτωμα, καὶ δεκτὸν θυμίαμα, Καλλίνικε ἔνδοξε, τῷ πυρὶ τῶν ἀγώνων προσηνέχθης Θεῷ.

Νέον σε Παράδεισον, οἱ πιστοὶ γνωρίσαντες, τοῖς πόνοις τῶν ἄθλων σου, ὡς ἐκ θείων ναμάτων ποτιζόμεθα.

Ὡραῖοι οἱ πόδες σου, ἀθλητὰ Καλλίνικε, τοῖς ἥλοις πειρώμενοι, καὶ πρὸς κήρυγμα θεῖον πορευόμενοι.

*Θεοτοκίον.*

Σκέπην σε κεκτήμεθα, καὶ λιμένα Πάναγνε καὶ ὅπλον καὶ ἄγκυραν, καὶ βεβαίαν ἐλπίδα ἐν κινδύνοις ἀεί.

*Ἕτερος. Τῦπου τῆς ἁγνῆς λοχείας Σου.*

Γλῶσσαν ἐξειπεῖν οὐ δύναται, τοῦ Καλλινίκου ἄθλους, θαύματα ἄμετρα, ὑπὲρ τὴν πληθύν, ψάμμου θαλάσσης καὶ ἄστρων γε, ὡς Μωσῆε καὶ Ἠλίας ἐν ὕδασιν· ὅθεν τιμῶμεν ὕμνοις, τὴν ὁμολογίαν καὶ μνήμην σου.

Ἵλεως γενοῦ πολύαθλε, σὺν χορείᾳ Μαρτύρων, πρὸς τὸν οἰκτίρμονα, τοῖς παναληθῶς, ὕμνοις ἐνθέοις ὑμνοῦσί σε, καὶ ἀπώθει ἐχθροῦ τὰ τοξεύματα, ἵνα μὴ πειρασθῶσιν, οἱ ἀεὶ πιστῶς σὲ γεραίρουσιν.

Ὅλην πρὸς Χριστὸν διάνοιαν, ἐν τῷ σταδίῳ ἔχων, Πλάστην ἐδόξασας, ἀντιδοξασθεὶς· διὸ ἡμῖν ἐπιβράβευσον, δωρεαῖς ἀριστεῦ, θεοτίμητε, χάριτος καὶ εἰρήνης, τοῖς εὐλαβῶς σὲ μακαρίζουσιν.

*Θεοτοκίον.*

Ὕψωσον Υἱῷ τὰς χεῖράς Σου, ὑπὲρ ἡμῶν Παρθένε, Ὃν ἀπεκύησας, ὡς Μλητηρ Αὐτοῦ, τὴν σωτηρίαν δωρήσασθαι, μετανοίας τὰς τρίβους δεικνύουσα, σὺν θείου Καλλινίκου, εὐμενεστάτοις παρακλήσεσι.

*Ἐξαποστειλάριον. Ἦχος γ΄. Ἀπόστολοι ἐκ περάτων.*

Ἡ μνήμη τοῦ Καλλινίκου, ὥσπερ ἀκτὶς τοῦ Ἡλίου, Δικαιοσύνης ἐκλάμπει, τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ· διὸ πιστοὶ συνελθόντες, μέλψωμεν τούτου τοὺς ἄθλους.

*Θεοτοκίον.*

Μωσῆς Σιναίῳ προεῖδε, Σὲ ὥσπερ ἄφλεκτον Βάτον, θαῦμα θαυμάτων δηλοῦσα, τὸ ἀειπάρθενον Μῆτερ, ὡς πρὸ τοῦ Τόκου Παρθένος, ἐν τούτῳ μείνασα δ' αὖθις.

*Αἶνοι. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.*

Δεῦτε πιστοὶ συνελθόντες πανηγυρίσωμεν, Καλλίνικον ὑμνοῦντες, τὸν ἐκλάμψαντα γαίᾳ, Κιλίκων ὥσπερ ἄστρον πασιφαές, Ἀθλητὴν περιβόητον, τοῦ Σακερδοῦς καταισχύναντα τὴν ὀφρύν, καὶ λιπόντα βίον πρόσκαιρον.

Τῇ μυστικῇ παντευχίᾳ καθοπλισμένος στεῤῥέ, νικοποιῷ τροπαίῳ, τοῦ Χριστοῦ τῷ σημείῳ, Καλλίνικε

θεόφρον θράση ἐχθρῶν, δυσσεβῶν κατηδάφισας, καὶ τῶν εἰδώλων τὰ ξόανα καθελών, μέχρις αἵματος ἐνήθλησας.

Τίς σου τοὺς ἄθλους ἐξείπει σοφὲ Καλλίνικε, οὓς ἐν Μικρᾷ Ἀσίᾳ, προσευχῇ θεαρέστῳ, ἀγῶσιν ἀπειργάσω ἀθλητικοῖς, καὶ ἐκχύσει τοῦ αἵματος, ἐν τῇ καμίνῳ τοῖς ἄνθραξι τῆς φλογός, σβέσας πλάνης τὰ μυθεύματα;

Συναπεβάλλου χιτῶνας τοὺς δερματίνους ξεσμοῖς, ἐν τιμωρίαις Μάρτυς, καὶ στολὴν ἀφθαρσίας, βαφαῖς περιβαλλόμενος ἐρυθραῖς, τὸν ἐχθρὸν κατεγύμνωσας, νίκης καλλίστης τὸ τρόπαιον δ' ἐκ Θεοῦ, ἐκομίσω τῆς ἀθλήσεως.

*Δόξα. Ἦχος πλ. α΄.*

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, χορεύσωμεν ἑόρτια, καὶ σκιρτήσωμεν ἀγαλλόμενοι, ἐπὶ τῇ φωτοφόρῳ πανηγύρει, τοῦ Ἀθλοφόρου Χριστοῦ· ἱερεῖς καὶ ἄρχοντες συντρεχέτωσαν, καὶ τὸν ἐνάρετον διδάσκαλον, ἐν ὕμνοις ἀνυμνείτωσαν. Διὸ καὶ νῦν φιλέορτοι, ἐν τοῖς ναοῖς Κυρίου συνελθοντες, τὸν τῆς γῆς Κιλικίας βλαστόν, καὶ Μάρτυρα τῆς πίστεως, ᾀσμάτων ἄνθεσιν ἐγκωμιάσωμεν· ὅτι τοῦτον ὄντως κέκτηνται, οἱ πένητες πλουτιστήν, οἱ ἐν αἰχμαλωσίᾳ τοῖς πάθεσι ῥύστην, οἱ ἀδικούμενοι προστάτην, οἱ κατατρεγμένοι βοηθόν, οἱ ὁδοιπόροι συνοδίτην, οἱ πιστοὶ συμπαραστάτην, οἱ φυλακισμένοι ἐλευθερωτήν, καὶ οἱ νοσοῦντες ἰατῆρα· οἱ πάντες, τὸν πανταχοῦ ταχὺ προφθάνοντα, ἄριστον κυβερνῆτιν,

δαιμόνων ὀλετῆρα, Ἅγιον θαυματουργόν, πρὸς ὃν βοήσωμεν· ὦ Καλλίνικε μακάριε, φύλαττε καὶ σκέπε ἡμᾶς, ἐξ ἀνάγκης καὶ βλάβης ἀτρώτους, καὶ σῷζε εὐσεβὲς Ἑλλήνων γένος, τῆς ἐνεστώσης ἀπειλῆς, ταῖς πρὸς Χριστὸν ἱκεσίαις σου.

*Καὶ νῦν. Θεοτοκίον*

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παρρησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Χαίροις τῶν Κιλίκων γόνος σεπτός, Καλλίνικε Μάρτυς, Ἀθλοφόρε πανευκλεές, ὁ ἀνύδρους τόπους, εὐκάρπους ἀναδείξας, ταῖς θείαις ἀρεταῖς σου, καὶ ῥείθροις αἵματος.